A

σ. 26 454 π.Χ.

Ο πρώτος κατάλογος του Φορολογικού Καταλόγου, συνταχθείς υπό των Ελληνοταμιών, μετά την μεταφοράν εις Αθήνας από της Δήλου, του κοινού ταμείου, της Αθηναϊκής συνομοσπονδίας.

E.L. Hicks: (1843-1919): Manual Greek Historical Inscriptions Oxford 1882 σ. 369

σ. 41 443 π.Χ.
48 436 π.Χ.
81 425 π.Χ

Η Σηλυμβρία εις τους Φορολογικούς Καταλόγους.

σ. 26 421 π.Χ.

Οι Φορολογικοί Κατάλογοι οι σωζόμενοι φθάνουν μέχρι του 421 π.Χ.

σ. 110-112 409 π.Χ.

Την Σηλυμβρίαν ανακτά ο Αλκιβιάδης.

Ακολουθώ την χρονολογίαν του Κουρτίου: Gr. Gesch. II 680.

σ. 138-140 378-377 π.Χ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ίδρυσις της νέας Αθηναϊκής Συνομοσπονδίας.

Μεγάλη στήλη τεθείσα ομού από 20 τεμάχια.

Meier: Commentatio Epigraph. I. Halle 1851.

Köhler: Corpus Inscriptionum Atticarum II 17.

Ἐπὶ Ναυσινίκου ἄρχοντος
Καλλίβιος Κηφισοφῶντος
Παιανιεὺς ἐγραμμάτευε.

Ἐπὶ τῆς Ἱπποθωντίδο[ς ἑβδό]μης πρυτα-
νείας· ἔδοξεν τῇ βουλῇ καὶ τῷ] δήμῳ·
Χαρῖνος Ἀθμον[εὺς ἐπ]εστάτει·
Ἀριστοτέλη[ς] εἶ[πεν· τύχ]ῃ ἀγαθῇ τῇ Ἀ-
θηναίων καὶ [τ]ῶν [συμμ]άχων τῶν Ἀθηναίω-
ν, ὅπως ἂν Λα[κε]δ[αιμό]νιοι ἐῶσι τοὺς Ἕλλη-
νας ἐλευθέ[ρ]ους [καὶ] αὐτονόμους ἡσυχίαν
ἄγειν τ[ὴν χώραν] ἔχοντας ἐν βεβαίῳ τὴ-
[ν ἑαυτῶν (αἱ ἑπόμεναι τρεῖς γραμμαὶ ἀπεξέσθησαν κατὰ τὴν ἀρχαίαν ἐποχήν)..
§1 - ἐψηφί]σθαι τῷ δήμῳ, ἐάν τις βούλ-
[ηται τῶν Ἑλ]λήνων ἢ τῶν βαρβάρων τῶν ἐν
[ἠπείρῳ ἐν]οικούντων ἢ τῶν νησιωτῶν, ὅσ-
[οι μὴ βασι]λέως εἰσίν, Ἀθηναίων σύμμαχ-
[ος εἶναι κ]αὶ τῶν συμμάχων, ἐξεῖναι αὐ[τ]-
ῷ [ἐλευθέρ]ῳ ὄντι καὶ αὐτονόμῳ, πολι-

2

τ[ευομέν]ῳ πολιτείαν ἣν ἂν βούληται, μή-
τε [φρουρ]ὰν εἰσδεχομένῳ μήτε ἄρχοντα
ὑπο[δεχ]ομένῳ μήτε φόρον φέροντι, ἐπὶ
δὲ τ[οῖς] αὐτοῖς ἐφ' οἷσπερ Χῖοι καὶ Θηβαῖ-
οι κα[ὶ] οἱ ἄλλοι σύμμαχοι. §2. τοῖς δὲ ποιησ-
αμέν[οι]ς συμμαχίαν πρὸς Ἀθηναίους καὶ
τοὺς σ[υμμ]άχους ἀφεῖναι τὸν δῆμον τὰ ἐγκ-
τήματα ὁ[π]όσ' ἂν τυγχάνῃ ὄν[τα ἢ ἴδι]α [ἢ δ]-
ημόσια Ἀθηναίων ἐν τῇ χ[ώρᾳ τῶν ποιου]-
μένων τὴν συμμαχίαν κ[αὶ περὶ τούτων π]-
ίστιν δοῦναι [Ἀθηναίους· ἐὰν δὲ τυγ]χάν[ῃ]
τῶν πόλεων [τῶν ποιουμένων τ]ὴν συμμαχ-
ίαν πρὸς Ἀθην[αίους σ]τ[ῆλαι] οὖσαι Ἀθήνησ-
ι ἀνεπιτήδειο[ι, τ]ὴν βουλὴν τὴν ἀεὶ βουλε-
ύουσαν κυρίαν ε[ἶν]αι καθαιρεῖν· [ἀ]πὸ δὲ Ν-
αυσινίκου ἄρχο[ντ]ος μὴ ἐξεῖναι μήτε ἰδ-
ίᾳ μήτε δημοσ[ί]ᾳ Ἀθηναίων μηθενὶ ἐγ-
κτήσασθαι ἐν τ[α]ῖς τῶν συμμάχων χώραι-
ς μήτε οἰκίαν μήτε χωρίον μήτε πριαμέ-
νῳ μήτε ὑποθε[μ]ένῳ μήτε ἄλλῳ τρόπῳ
μηθενί· ἐὰν δέ τις ὠνῆται ἢ κτᾶται ἢ τι-
θῆται τρόπῳ ὁτῳοῦν, ἐξεῖναι τῷ βουλο-
μένῳ τῶν συμμάχων φῆναι πρὸς τοὺς συν-
έδρους τῶν συμμάχων· οἱ δὲ σύνεδροι ἀπο-
[δ]όμενοι ἀποδό[ν]των [τὸ μὲν ἥ]μ[ι]συ τῷ φήναντι, τὸ δὲ ἄ-
[λλο κοι]νὸν [ἔστ]ω τῶν συ[μμ]άχων. §3. ἐὰν δέ τι-
ς [ἴῃ] ἐπὶ πολέμῳ ἐπὶ τ[οὺ]ς ποιησαμένους
τὴν συμμαχίαν ἢ κατὰ γ[ῆ]ν ἢ κατὰ θάλαττ-
αν, βοηθεῖν Ἀθηναίους καὶ τοὺς συμμάχους
τούτοις καὶ κατὰ γῆν καὶ κατὰ θάλαττα-
ν παντὶ σθένει κατὰ τὸ δυνατόν. §4. ἐὰν δέ τ-
ις εἴπῃ ἢ ἐπιψηφίσῃ ἢ ἄρχων ἢ ἰ[δ]ιώτη-
ς παρὰ τόδε τὸ ψήφισμα ὡς λύειν τι δεῖ τ-
ῶν ἐν τῷδε τῷ ψηφίσματι εἰρημέ[νων, ὑ]-
παρχέτω μ[ὲν] αὐτῷ ἀτίμῳ εἶναι καὶ [τὰ
χ]ρήματα αὐτ]οῦ δημόσια ἔστω καὶ τῆς θ[εοῦ
τ]ὸ ἐπιδ[έκα]τον καὶ κρινέσθω ἐν Ἀθην[αί-
ο]ις καὶ τ[οῖς] συμμάχοις ὡς διαλύων τὴ[ν]
συμμαχία[ν, ζ]ημιούντων δὲ αὐτὸν θανάτῳ
ἢ φυγῇ οὗ[περ] Ἀθηναῖοι καὶ οἱ σύμμαχο-
ι κρατοῦσι[ν· ἐὰν] δὲ θανάτου τιμηθῇ, μὴ τα-
φήτω ἐν τῇ [Ἀττι]κῇ [μ]ηδὲ ἐν τῇ τῶν συμ-
μάχων. §5. τὸ δ[ὲ ψήφ]ισμα τόδε ὁ γραμματεὺς
ὁ τῆς βουλῆ[ς ἀναγρ]αψάτω ἐν στήλῃ λιθί-

(ἀκολουθεῖ)

Προσφέρεται ἐπακόλουθα ἡ ἀπο-
δοχὴ παραπλήσια [illegible]
[illegible] τῶν κληρουχιῶν.
Πλήρης μελέτη παρὰ τῷ
Grote κεφ. 77.

Παραχωρεῖ τὰς
μεγάλας δυνάμεις αἱ
ὁποῖαι ἐδόθησαν εἰς
τοὺς ὁμοσπόνδους ἀντι-
προσώπους (federal
representatives). Δύναν-
ται νὰ καταδικάσουν
Ἀθηναῖον πολίτην εἰς
φυγὴν ἢ εἰς θάνατον ὡς
«ἱερόσυλον».

νη καὶ καταθέ[τω] παρὰ τὸν Δία τὸν Ἐλευθέριον· τὸ δὲ ἀρ[γύ]ριον δοῦναι εἰς τὴν ἀναγραφὴν τῆς στ[ήλη]ς ἑξήκοντα δραχμὰς ἐκ τῶν δέκα ταλ[άν]των τοὺς ταμίας τῆς θεοῦ. §6. εἰς δὲ τὴν στήλην ταύτην ἀναγράφειν τῶν τε οὐσῶ[ν] πόλεων συμμαχίδων τὰ ὀνόματα καὶ [ἥ]τις ἂν ἄλλη σύμμαχος γί(γ)νηται. §7. ταῦτα [μ]ὲν ἀναγράψαι, ἑλέσθαι δὲ τὸν δῆμον πρέσβεις τρεῖς αὐτίκα μάλ[α] εἰς Θήβας, [ο]ἵτινες πείσουσι Θηβαίους ὅ[τι] ἂν δ[ύ]ν[ων]ται ἀγαθόν. οἵδε ᾑρέθησαν· [Ἀ]ριστοτέλης Μαραθώνιος, Πύρρανδρος Ἀναφλύστ[ι]ιος, Θρασύβουλος Κολλυτεύς.

§8. Ἀθηναίων πόλεις αἵδε σύμμαχοι· | Χῖοι, Τενέδιοι, | Μυτιλη[ν]αῖοι, | [Μηθυμν]αῖοι, | Ῥόδιοι, Ποιήσσιοι, | Βυζάντιοι, | Περίνθιοι, | Πεπαρήθιοι, | Σκιάθιοι, | Μαρωνῖται, | Διῆς, | Πάρ[ι]οι, Θ..., | Ἀθην[ί]ται, Π..., | Θηβαῖοι, | Χαλκιδῆς, | Ἐρετριεῖς, | Ἀρεθούσιοι, | Καρύστιοι, | Ἴκιοι, | Πα[λῆς?] | (ἐδῶ τινὰ γράμματα ἀπεξέσθησαν — Κατόπιν ἀκολουθεῖ ἡ ἀρχὴ ἄλλου ψηφίσματος προταθέντος ὑπὸ Ἀριστοτέλους τινός· καὶ εἰς τὴν ἀριστερὰν πλευρὰν τῆς ἐπιγραφῆς ἐξακολουθοῦν τὰ ὀνόματα τῶν συμμαχικῶν πόλεων ὡς ἕπεται. — [Κερκυ]ραίων | [ὁ δῆ]μος, | [Ἀβδη]ρῖται, | [Θάσι]οι, | [Χαλκι]δῆς | ἀπὸ [Θράκης], | Αἴνιοι, | Σαμοθρᾶκες, | Δικαιοπολῖται, | Ἀκαρνᾶνες, | Κεφαλλήνων Πρώννοι, | Ἀλκέτας, | Νεοπτόλεμος, | (ὄνομα ἀποξυσθὲν ἐν τῇ ἀρχαιότητι), | Ἄνδριοι, | [Τ]ήνιοι, | [Ἑσ]τιαιῆς, | Μυ[κ]όνιοι, | Ἀντισσαῖοι, | Ἐρέσιοι, | Ἀστραιούσιοι, | Κείων Ἰουλιῆται, | Καρθαιεῖς, | Κορήσιοι, | Ἐλαιούσιοι, | Ἀμόργιοι, | Σηλυμβριανο[ί], | Σίφνιοι, | Σικινῆται, | Διῆς ἀπὸ Θράκης, | Νεαπολῖται, | Ζακυνθίων ὁ δῆμος | ὁ ἐν τῷ Νήλλῳ.

Διὰ διεξοδικωτέραν μελέτην ἴδε

Busolt: Der Zweite Athenische Bund

A. Schäfer: De Sociis Atheniensium Chabriae et Timothei Aetate etc. Lips. 1856.

Πρὸ παντὸς ὅμως εἶναι ἐπαρκῆ:

Διόδωρος ΙΕ'. 28-30 and

Grote κεφ. 77.

§8. Ὁ Κατάλογος τῶν Συμμάχων — Ἐκ προσωπικῆς ἐξετάσεως τῆς ἐπιγραφῆς ὁ Köhler λέγει ὅτι οἱ Χῖοι, Μυτιληναῖοι, Μηθυμναῖοι, Ῥόδιοι, Βυζάντιοι φαίνεται ὅτι ἐχαράχθησαν ἀπὸ τὴν ἰδίαν χεῖρα μὲ τὸ ψήφισμα — Τοῦτο συμφωνεῖ πρὸς τὰ τοῦ Διοδώρου ΙΕ'. 28: «πρῶτοι δὲ πρὸς τὴν ἀπόστασιν ὑπήκουσαν Χῖοι καὶ Βυζάντιοι, μετὰ τούτους Ῥόδιοι καὶ Μυτιληναῖοι, καὶ τῶν ἄλλων τινὲς νησιωτῶν.

Δευτέρα χεὶρ ἐχάραξε τοὺς Τενεδίους, Θηβαίους, Χαλκιδεῖς, Ἐρετριεῖς, Ποιησσίους, Ἀρεθουσίους, Καρυστίους.

Τρίτη χεὶρ προσέθεσε τοὺς Περινθίους, Πεπαρηθίους, Σκιαθίους, Μαρωνίτας, Διῆς, Ἰκίους, Παλῆς.

Οἱ λοιποὶ προσετίθεντο ἀργότερα, καθόσον ἡ συμμαχία ἐπεκτείνετο.

Οὕτως τὰ Ἄβδηρα προσεχώρησαν μετὰ τὴν ναυμαχίαν τῆς Νάξου (Διόδωρος ΙΕ'. 36)

(ἀκολουθεῖ)

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

Ὁμοίως ἡ Ἑστιαία ἔρχεται [?] τελευταία εἰς τὸν κατάλογον. Διόδωρος ΙΕ΄.30. — Ὁμοίως αἱ ἐξῆς πόλεις τῆς Κῶ [?], Ἰουλιῆται, Καρθαιεῖς, Κορήσιοι, εἶναι χωρισμέναι ἀπὸ τὸν κατάλογον. Ποιήσσιοι - - -.

Παρατηρητέον, ὅτι δὲν συναντῶμεν ἐνταῦθα πόλεις τῆς Μικρᾶς Ἀσίας· Ἡ Ἀνταλκίδειος εἰρήνη τὰς ἐγκατέλειψε εἰς χεῖρας τοῦ μεγάλου βασιλέως, μέχρι τοῦ χρόνου, καθ' ὃν ὁ Ἀλέξανδρος τὰς ἠλευθέρωσε [?].

Ὁμοίως πολλὰ ὀνόματα δὲν συναντῶμεν, τὰ ὁποῖα θὰ ἀνεμένομεν νὰ ἴδωμεν, π.χ. τὴν Νάξον.

Ἀπὸ τὸ ἔγγραφον τοῦτο εἶναι φανερόν, ὅτι ὁ ὁρισμὸς (estimate) τοῦ Διοδώρου ΙΕ΄. 30 εἶναι ἀρκούντως [?] ὀρθός· "τοῖς Ἀθηναίοις συμμαχίαν συνέθεσαν [?] ἑβδομήκοντα πόλεις."